# TEZAUR LITURGIC

## 29 SEPTEMBRIE
## +CHIRIL KOGHERAKIS, MITROPOLITUL RHODOSULUI

# SLUJBA
# SF.CUVIOS-MUCENIC
# MALEAHI
# DE LA RHODOS

RHODIAKON LIMONARION
RHODOS,2011


ΚΥΡΙΛΛΟΥ ΚΟΓΕΡΑΚΗ
ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΡΟΔΟΥ
ΡΟΔΙΑΚΟΝ
ΛΕΙΜΩΝΑΡΙΟΝ
ΗΤΟΙ
ΒΙΒΛΟΣ ΠΕΡΙΕΧΟΥΣΑ
ΤΑΣ ΙΕΡΑΣ ΑΚΟΛΟΥΘΙΑΣ ΤΩΝ ΕΝ ΡΟΔΩ ΑΓΙΩΝ
ΩΣ ΚΑΙ ΤΩΝ ΙΕΡΩΝ ΣΥΝΑΞΕΩΝ ΤΩΝ ΕΝ ΤΗ ΝΗΣΩ
ΕΞΑΙΡΕΤΩΣ ΤΙΜΩΜΕΝΩΝ ΕΙΚΟΝΩΝ ΤΗΣ ΘΕΟΜΗΤΟΡΟΣ
ΡΟΔΟΣ 2011

# 29 Σεπτεμβρίου

# ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΝΕΟΥ ΟΣΙΟΜΑΡΤΥΡΟΣ ΜΑΛΑΧΙΟΥ ΤΟΥ ΛΙΝΔΙΟΥ ΤΟΥ ΕΝ ΙΕΡΟΣΟΛΥΜΟΙΣ ΜΑΡΤΥΡΗΣΑΝΤΟΣ

**Ποίημα Μητροπολίτου Ῥόδου Κυρίλλου Κογεράκη**

## ΕΙΣ ΤΟΝ ΜΙΚΡΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ἱστῶμεν στίχ. δ΄ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια. Ἦχος πλ. δ΄. Κύριε, εἰ καὶ κριτηρίῳ.

Κύριε, σὺ τοῦ ἱεροῦ Μαλαχίου, τὴν ἀρετὴν προσδεξάμενος, τοῦτον μιμητήν σου γενέσθαι, μαρτυρίῳ κατηξίωσας, καὶ ἀθανάτῳ αὐτόν, στεφάνῳ ἐστεφάνωσας, ἐκδυσωποῦντά σε παῤῥησίᾳ, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κύριε, σὲ ἀπὸ καρδίας ποθήσας, ὁ Μαλαχίας ὁ ἔνδοξος, δι᾽ ἀσκητικῆς πολιτείας, καὶ ἀθλήσεως ἠρίστευσεν. Ὅθεν νῦν χαίρει ἐν σοί, χαρὰν τὴν ἀνεκλάλητον, καὶ ἱκετεύει σε παῤῥησίᾳ, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κύριε, σὲ ἀσκητικῶς Μαλαχίας, ὁ ἱερὸς ἠκολούθησε, καὶ συνεσταυρώθη σοι ζήλῳ, ὑπομείνας τὸ μαρτύριον.

Ὅθεν σεπτὸς κοινωνός, τῆς δόξης σου γενόμενος, ἀεὶ πρεσβεύει σοι παῤῥησίᾳ, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κύριε, σὺ τῇ Ἐκκλησίᾳ φωστῆρα, τὸν Μαλαχίαν ἀνέδειξας, λάμποντα ἐνθέως ἀκτῖσι, μαρτυρίου καὶ ἀσκήσεως. Ὅθεν αὐτοῦ εὐλαβῶς, τὴν μνήμην ἑορτάζοντες, οἱ εὐσεβεῖς σε παρακαλοῦμέν, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα. Ἦχος β΄.

Τὸν ἐν Ὁσίοις Μάρτυρα στεῤῥόν, τὸν ἐν Ἱεροσολύμοις ἀνδρείως, ὑπὲρ τῆς εὐσεβοῦς ὁμολογίας ἀθλήσαντα, τῶν εὐσεβῶν οἱ δῆμοι εὐφημήσωμεν. Οὗτος γὰρ ὡς ἐραστὴς τῆς αἰωνίου ζωῆς, τῆς ἐπικήρου καταφρονήσας, Χριστῷ τῷ Θεῷ συνεσταύρωται, καὶ τῆς Ἀναστάσεως υἱός, ἐν τοῖς ἐσχάτοις καιροῖς ἀναδέδεικται. Ὅθεν αὐτῷ ἐκβοήσωμεν· Μαλαχία πανένδοξε, πρέσβευε διηνεκῶς, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια.
Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Δεῦτε οἱ εὐσεβεῖς, τιμήσωμεν ἐν ὕμνοις, τὸν θεῖον Μαλαχίαν, ὡς ἐν Ὁσίοις νέον, τῆς εὐσεβείας Μάρτυρα.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Χάριν τῆς ἐν Χριστῷ, ἐλευθερίας Πάτερ, ἀσκήσει δεδεγμένος, τυράννων Μαλαχία, τὸ φρύαγμα κατέβαλες.

Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Ἤθλησας ἀνδρικῶς, ὑπὲρ τῆς εὐσεβείας, παμμάκαρ Μαλαχία, ἀναρτηθεὶς πασσάλῳ, ὥσπερ Σταυρῷ ὁ Κύριος.

Δόξα. Ἦχος γ΄.

Μαλαχία πανένδοξε, Ὁσιομάρτυς Χριστοῦ, ἀπηνῶς πασσακισθείς, πρὸς τὴν ἀτέρμονα ζωὴν ἐξεδήμησας. Ὅθεν πρέσβευε ὑπὲρ ἡμῶν, τῶν ἐκτελούντων τὴν μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον.

Ἁγιόπρωτε σεμνή, ἐγκώμιον οὖσα, τῶν οὐρανίων ταγμάτων, Ἀποστόλων ὑμνῳδία, Προφητῶν περιοχή, Δέσποινα πρόσδεξαι, καὶ ἡμῶν τὰς δεήσεις.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΕΣΠΕΡΙΝΟΝ

Ὁ Προοιμιακὸς καὶ τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχ. η΄ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια τοῦ Ἁγίου.

Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.

Τῶν εὐσεβῶν αἱ χορεῖαι, ἀνευφημήσωμεν, λιγυροφθόγγοις ὕμνοις, τὸν στεῤῥὸν Μαλαχίαν· ἀσκήσας γὰρ ἐν κόσμῳ τὴν ἀρετήν, καὶ ἀθλήσας δι᾽ αἵματος, ἐν ταῖς αὐλαῖς τοῦ Κυρίου χοροβατεῖ, καὶ πρεσβεύει τοῦ σωθῆναι ἡμᾶς.

Ἀσκητικῶς ἐν τῷ κόσμῳ, ἀγωνισάμενος, καὶ ἀρετῶν τοῖς ἔργοις, διαπρέψας ὁσίως, ἐτέλεσας ἐνστάσει μαρτυρικῇ, τὸν ἐπίγειον δρόμον σου, θανατωθεὶς ἐν πασσάλῳ ὡς ἐν Σταυρῷ, Μαλαχία ὁ Φιλάνθρωπος.

Μετεωρίσας ψυχῆς σου, ἀσκητικῶς τὸ πτερόν, μαρτυρικῶς πρὸς ὕψος, οὐρανῶν ἐπετάσθης, καὶ δόξης ἀθανάτου ἐν καλλιᾷ, Μαλαχία κατέπαυσας, ἀκαταπαύστως πρεσβεύων ὑπὲρ ἡμῶν, τῷ Θεῷ τῷ Παντοκράτορι.

Τέρπου καὶ χόρευε Λίνδος, ὅτι ἐβλάστησας, τὸν ἐν Ὁσίοις νέον, τοῦ Χριστοῦ Ἀθλοφόρον· οὗτος γὰρ ἀσκήσει προγυμνασθείς, τὸν ἐχθρὸν ἐθριάμβευσεν, ἐν κραταιοῦ μαρτυρίου τῇ συμπλοκῇ, Μαλαχίας ὁ θαυμάσιος.

Ἕτερα. Ἦχος δ'. Ὡς γενναῖον ἐν Μάρτυσι.

Ἀγαπήσας τὸν Κύριον, ὁλικῶς ἐκ νεότητος, γεηρὰς κατέλιπες ματαιότητας, καὶ μοναζόντων ἐν σχήματι, ὁσίως διέπρεψας, γεωργήσας ἀρεταῖς, τῆς ψυχῆς τὸ γεώργιον, καὶ ἐξήνθησας, μαρτυρίου τὰ ἄνθη Μαλαχία, μυστικῶς εὐωδιάζων, τῶν Ὀρθοδόξων τὸ πλήρωμα.

Τοῦ Ναοῦ ἀναδέδειξαι, τῆς Χριστοῦ Ἀναστάσεως, ὑπηρέτης ἔνθεος παμμακάριστε· σὺ γὰρ ναὸν Θείου Πνεύματος, σαυτὸν ἀπετέλεσας, ἐπὶ γῆς ἀσκητικόν, συγκροτήσας γυμνάσιον. Ὅθεν Ἅγιε, Μαλαχία ναῷ ἐν οὐρανίῳ εἰσῳκίσθης μαρτυρίου, πεποικιλμένος τοῖς στίγμασι.

Τῶν Ὁσίων διέδραμες, θεοφρόνως τὴν ἄσκησιν, κοσμικὴν προσπάθειαν βδελυξάμενος, καὶ τῶν Μαρτύρων ἐτέλεσας, στεῤῥῶς τὸ ἀγώνισμα, ἀφειδήσας τῆς σαρκός, τῶν μεγίστων κολάσεων. Ὅθεν ἔλαβες, Μαλαχία τῆς νίκης τοὺς στεφάνους, καὶ παρέστης τῷ Κυρίῳ, διαπαντὸς εὐφραινόμενος.

Τὸν Σταυρόν σου ἀράμενος, τῷ Χριστῷ ἠκολούθησας, καὶ αὐτῷ συνέπαθες προθυμότατα· σὺ γὰρ ἀνδρείως ὑπέμεινας, τοὺς πόνους τοῦ σώματος, τὰς κεντήσεις τῶν μελῶν, τῶν ὁδῶν τὴν τραχύτητα, καὶ τὸν πάσσαλον, ἀνθ᾿ ὧν δόξαν θεόφρον Μαλαχία, ἐκληρώσω ἐν ὑψίστοις, τῆς τοῦ Χριστοῦ Ἀναστάσεως.

Δόξα. Ἦχος πλ. β΄.

Σήμερον ἡ τοῦ Ὁσιομάρτυρος μνήμη ἐπέφανεν, ὡς φωστὴρ τῆς χάριτος ἑωσφόρος, τὰς καρδίας τῶν πιστῶν καταπυρσεύουσα· τῆς Ἀναστάσεως γὰρ τοῦ Χριστοῦ, τῇ ἀνεσπέρῳ δόξῃ λαμπρυνομένη, τῷ φωτὶ τῶν ἐντολῶν τῆς ζωῆς, ὁδηγεῖ τοὺς κραυγάζοντας· Χαίροις ὁ οὐρανίῳ φρονήματι, τῶν ἐπιγείων φθαρτῶν καταφρονήσας, καὶ ἀσκητικῶς ἐπὶ γῆς ἀγωνισάμενος· χαίροις ὁ τῷ οἰκείῳ αἵματι, τὴν θαυμαστήν σου ζωὴν

ἐπισφραγίσας, καὶ θυσία Θεῷ ἁγία γενόμενος· χαίροις τῆς Λίνδου βλάστημα τερπνόν, τῆς Ἐκκλησίας ἀγλάϊσμα, καὶ Ὀρθοδόξων ἐγκαλλώπισμα. Ἀλλ᾽ ὦ Μαλαχία πανένδοξε, τῷ Ἀναστάντι ἐκ τάφου πρέσβευε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Τίς μὴ μακαρίσει σε Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρός, ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι᾽ ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ᾽ ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος, τὸ Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.
(Κεφ. μγ', 9-14)

Τάδε λέγει Κύριος. Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα; ἢ τὰ ἐξ ἀρχῆς, τίς ἀναγγελεῖ ἡμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς, λέγει Κύριος ὁ Θεός, καὶ ὁ παῖς μου, ὃν ἐξελεξάμην· ἵνα γνῶτε, καὶ πιστεύσητε, καὶ συνῆτε ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός,

καὶ μετ᾽ ἐμὲ οὐκ ἔσται. Ἐγὼ ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός· ἔτι ἀπ᾽ ἀρχῆς, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτως λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος τοῦ Ἰσραήλ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(Κεφ. γ', 1-9)

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

# Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(Κεφ. ε', 15-στ', 3)

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην· καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν· συνεκπολεμήσει δὲ αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ, Ἰδιόμελα.

### Ἦχος α΄.

Εὐφραίνου ἐν Κυρίῳ, ἡ ἐν Ῥόδῳ ἐξάκουστος Λίνδος, τοῦ ἐν Ὁσίοις Μάρτυρος Μαλαχίου, ὡς τέκνου σου ἡγιασμένου, τὴν μνήμην ἑορτάζουσα σήμερον. Οὗτος γὰρ ὁ μακάριος, ἐν τοῖς δουλείας τοῖς χρόνοις, τὴν καλὴν φυλάξας ὁμολογίαν, τῆς ἀσκήσεως ἱερῶς τὸ τριβώνιον, αἱμάτων τοῖς κρουνοῖς ἐπορφύρωσε, καὶ ὅλος ἐξαστράπτων, τῇ αἴγλῃ τῶν ἀγώνων αὐτοῦ, πρὸς οὐρανοὺς τὴν πορείαν ἐποιήσατο· ἔνθα σὺν πᾶσι τοῖς Ἁγίοις εὐφραινόμενος, τῷ Ἀναστάντι ἐκ τάφου πρεσβεύει, ὑπὲρ τῶν πιστῶς βοώντων· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεὸς ἡμῶν, ὁ ἐνδοξαζόμενος ἐν ταῖς μνήμαις τῶν ἐκλεκτῶν σου.

### Ἦχος β΄.

Ὁσιομάρτυς Μαλαχία Πανεύφημε, εὐσυνειδήτως πᾶσαν τὴν ζωήν, ἐν ἀσκητικῇ ἐργασίᾳ τελέσας, μαρτυρικῶς πρὸς οὐρανοὺς ἐξεδήμησας· τυράννων γὰρ ἀπειθήσας προστάγμασιν, ἐν τοῖς βασάνοις πικρῶς ἐδοκιμάσθης, καὶ οἰκείοις αἵμασι καθαγιασθείς, θυσία εὐπρόσδεκτος Χριστῷ προσενήνεξαι. Ὅθεν ἐν παῤῥησίᾳ ἐκτενῶς, τῇ Ἁγίᾳ Τριάδι πρέσβευε, ὑπὲρ ἡμῶν τῶν ἐκτελούντων τὴν μνήμην σου.

### Ἦχος γ΄.

Ἐκ ῥίζης λευϊτικῆς, εὐσεβείας ἀνεβλάστησας καρπός, Μαλαχία ἀξιάγαστε· ἀσκητικὴν γὰρ πολιτείαν

ἑλόμενος, ἀγγελικῶς ἐπὶ τῆς γῆς ἐβιώσω, καὶ ἐν γνώσει πνευματικῇ κοσμούμενος, τυραννικὴν μανίαν ἐξεφαύλισας, Μάρτυς γενόμενος τοῦ Ἀναστάντος Χριστοῦ, τοῦ παρέχοντος ταῖς πρεσβείαις σου ἡμῖν, τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος.

Ἦχος δ'.

Ὅσιε Πάτερ, Μαλαχία ἀοίδιμε, ἀσκητικαῖς σου ἀγωγαῖς, τοῦ Παρακλήτου ναὸς γενόμενος, ἐν τῷ Ναῷ τῆς Χριστοῦ Ἀναστάσεως, ὡς Ἄγγελος ἐπίγειος διηκόνησας· ἐντεῦθεν πρὸς τὸν οὐράνιον ναόν, ἐν τῇ ἄνω Ἱερουσαλήμ, ἐν τῶν πρωτοτόκων τῇ Μητροπόλει, μαρτυρικῶς ἐκδημήσας, τὰ γέρα τῶν ἀγώνων σου ἐκομίσω, τῷ ἐν Τριάδι Θεῷ παριστάμενος, καὶ ἐν μεθέξει ὡς Ὁσιομάρτυς θεούμενος. Ὅθεν πρέσβευε ὑπὲρ ἡμῶν, τῶν ἐκτελούντων ἐν ὕμνοις, τὴν ἱεράν σου πανήγυριν.

Ἦχος πλ. α'.

Ὅσιε Πάτερ, ἀσκητικὴν πολιτείαν γεωργήσας, τοῦ μαρτυρίου τῆς πίστεως, τοὺς καρποὺς πλουσίως ἐξήνεγκας· τῶν κάτω γὰρ ὁλικῶς ἀφιστάμενος, καὶ πρὸς τὸν σκοπὸν τῆς ἄνω κλήσεως ἐπειγόμενος, ἐναντίον τῶν τῆς Ἄγαρ ἐζοφωμένων υἱῶν, τὸν ἀληθινόν Θεὸν ὡμολόγησας. Ὅθεν ἀξίωμα ἁλουργὸν, ἐξ οἰκείων αἱμάτων περιβαλλόμενος, ὡς Χριστοῦ ἀληθὴς μιμητής, ἐν οὐρανῷ αὐτῷ συμβασιλεύεις, καὶ πρεσβεύεις ὑπὲρ ἡμῶν, τῶν τιμώντων σου Μαλαχία τὴν ἄθλησιν.

## Ἦχος πλ. β'.

Ὅσιε Πάτερ, ταῖς βασάνοις πικρῶς χειμαζόμενος, τοῖς λίθοις τῶν ὁδῶν συντριβόμενος, καὶ τὰς σάρκας ἀπηνῶς κατατεμνόμενος, τῆς φθορᾶς ἀπεκδύσω τὴν ἀμφίεσιν· χιτῶνα δὲ σωτηρίου φωτεινόν, ἐξ οἰκείων αἱμάτων ἐξυφανθέντα, τῇ διὰ πασσάλου τελευτῇ σου, ἐνεδύσω Μαλαχία μακάριε. Ὅθεν ἐν ταῖς αὐλαῖς τῆς ζωῆς, τῷ Ἀναστάντι Χριστῷ παριστάμενος, πρέσβευε ὑπὲρ ἡμῶν τῶν ὑμνούντων σε.

## Ἦχος βαρύς.

Εὐσεβείας τοῖς δόγμασι, τεθραμμένος διὰ πίστεως, ὡς μοναστὴς θεοφόρος, μαρτυρικὴν ἐπεδείξω ἀνδρείαν, Μαλαχία παμμακάριστε· ἐν εἱρκτῇ γὰρ φρουρούμενος, καὶ ταῖς πληγαῖς συντριβόμενος, ἐν ταῖς ῥύμαις συρόμενος, καὶ τῷ πασσάλῳ προσαναρτώμενος, Ὁσιομάρτυς ὤφθης ἀήττητος. Ὅθεν Χριστῷ τῷ Θεῷ, ἀναδραμὼν τροπαιοῦχος, τὸ φῶς τῆς Ἀναστάσεως ἐθεάσω, οὗ τὴν λαμπρότητα ἐξαίτει καὶ ἡμῖν, τοῖς εὐλαβῶς τιμῶσί σε.

## Ἦχος πλ. δ'.

Ὅσιε Πάτερ Μαλαχία, Χριστῷ τῷ Θεῷ ἡμῶν, ἐκ παιδὸς ἀνακείμενος, οὐκ ἔπτηξας Ἀγαρηνῶν τὴν ὀφρύν, ἀλλ᾽ αὐτὴν ἀνδρείως ἐξεφαύλισας, τὴν καλὴν φυλάξας ὁμολογίαν, καὶ μέχρις αἵματος τὸν ἀγῶνα τῆς πίστεως, ἐν ἰσχύϊ χάριτος ἀγωνισάμενος. Ὅθεν νῦν ἐν οὐρανοῖς, τὰς ἀμοιβὰς τῶν πόνων σου δεχόμενος,

ὑπὲρ ἡμῶν ἀπαύστως πρέσβευε, τῶν ἐν ὕμνοις τελούντων, τὸ εὐαγές σου μνημόσυνον.

Δόξα. Ὁ αὐτός.

Ὅσιε Πάτερ, Μαλαχία παμμακάριστε, ὡς ἥλιος σήμερον πανευκλεής, ἡ μνήμη σου ἐκλάμπουσα, τὸν κόσμον φωτίζει μυστικῶς, αἴγλῃ τῆς ἀσκήσεως, καὶ φωτὶ τοῦ μαρτυρίου· διὸ καὶ ἡμεῖς, ἐν αὐτῇ συναθροισθέντες, τοὺς ἄθλους σου μακαρίζομεν, εὐλαβῶς παρακαλοῦντες· Ὁσιομάρτυς πανεύφημε, ὡς παῤῥησίαν ἔχων πρὸς Χριστόν, ἱκέτευε ἐκτενῶς, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ, Στιχηρὰ προσόμοια.
Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

Χαίροις Ὁσιομάρτυς Χριστοῦ, τῶν μοναζόντων τὸ σεπτὸν ἐγκαλλώπισμα, καὶ καύχημα τῶν Μαρτύρων, ὡς κοινωνήσας αὐτῶν, τῆς ὁμολογίας καὶ στεῤῥότητος· τῆς Λίνδου τὸ βλάστημα, καὶ τῆς Ῥόδου τὸ σέμνωμα, τῆς εὐσεβείας, ὁ ἀστὴρ ὁ νεόφωτος, τὸ νεόδμητον, Ἐκκλησίας προτείχισμα· ἥλιος ὁ ἀνέσπερος, παμμάκαρ τῆς πίστεως, ὁ ἀσεβείας τυράννων, διασκεδάσας τὴν ζόφωσιν. Χριστὸν ἐκδυσώπει, Μαλαχία ὑπὲρ πάντων, τῶν εὐφημούντων σε.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Χαίροις Ὁσιομάρτυς Χριστοῦ, ὁ τὴν ἰσάγγελον ζωὴν ἐκλεξάμενος, καὶ ἄθλοις τοῦ μαρτυρίου, τῶν Ἀθλοφόρων λαμπρῶς, τὴν ὁμολογίαν μιμησάμενος· Σταυρὸν γὰρ ἐπ᾽ ὤμων σου, θεοφρόνως ἀράμενος, ἐπολιτεύσω, ἐπὶ γῆς δι᾽ ἀσκήσεως, καὶ ἐνήθλησας, ἀνενδότῳ φρονήματι. Ὅθεν πρὸς τὴν ἀείζωον, μετέβης ἀνάπαυσιν, σὺν τοῖς χοροῖς τῶν Ἁγίων, διαπαντὸς εὐφραινόμενος· μεθ᾽ ὧν ἐκδυσώπει, Μαλαχία ὑπὲρ πάντων, τῶν εὐφημούντων σε.

Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Χαίροις Ὁσιομάρτυς σοφέ, ὁ τὴν τοῦ Πνεύματος θηξάμενος μάχαιραν, καὶ ἔπαρσιν τῶν τῆς Ἄγαρ, ἐζοφωμένων υἱῶν, ἐκτεμὼν ἐν πάλῃ μαρτυρίου σου· αὐτῶν γὰρ ὡς ἄσαρκος, τὸ κακοῦργον ὑπέμεινας, καταφρονήσας, τῶν ποικίλων κολάσεων, καὶ ἐβάστασας, τοῦ πασσάλου τὸ ὄνειδος, χαίρων ἐν τοῖς παθήμασι, δι᾽ ὧν κατηξίωσαι, ἐν οὐρανοῖς Μαλαχία, τῆς τῶν Ἁγίων λαμπρότητος· μεθ᾽ ὧν ἐκδυσώπει, ὑπὲρ πάντων τῶν τελούντων, τὴν θείαν μνήμην σου.

Δόξα. Ἦχος πλ. δ΄.

Δεῦτε σήμερον οἱ πιστοί, ἀγγελικῶς ἐπὶ τῇ μνήμῃ χορεύσωμεν, Μαλαχίου τοῦ εὐκλεοῦς Ὁσιομάρτυρος, τοῦ ἐκ τῆς Λίνδου φανέντος, μεγάλου τῆς Ἐκκλησίας φωστῆρος. Οὗτος γὰρ τὰ ἐν τῷ κόσμῳ τερπνά, ἐκ νεότητος ὡς ὄναρ ἀφείς, τὸν Σταυρὸν τοῦ κράζοντος, Ἐμοὶ ἀκολουθεῖτε, ἐπ᾽ αὐχένα προφρόνως ἀνέλαβε·

αὐτὸν δὲ ὑπὲρ λόγον ἐδόξασεν, ἀσκητικῶς ἐπὶ γῆς πολιτευσάμενος, καὶ μαρτυρικῶς ἐν Σιὼν ἀγωνισάμενος. Ὅθεν αὐτῷ ἐκβοήσωμεν· Ὡς παῤῥησίαν ἔχων πολλήν, πρέσβευε Ἅγιε τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.

Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Τῶν Λινδίων τὸ κλέος, καὶ Ῥοδίων τὸ καύχημα, τὸν θεοστεφῆ Μαλαχίαν, εὐσεβῶς εὐφημήσωμεν· ἀσκήσας γὰρ ὁσίως ἐπὶ γῆς, Μαρτύρων ἀνεδείχθη μιμητής, μεθ᾽ ὧν πάντοτε πρεσβεύει ὑπὲρ ἡμῶν, τῶν πίστει ἀναβοώντων· Δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ θαυμαστώσαντι, δόξα τῷ δωρουμένῳ διὰ σοῦ, πᾶσι τὰ κρείττονα.

Ἕτερον. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Τῶν Ὁσίων ζηλώσας, θερμῶς τὴν ἄσκησιν, ἀγγελικῶς ἐβιώσω, δι᾽ ἀρετῆς ἐπὶ γῆς, καὶ ἐνήθλησας στεῤῥῶς, ζήλῳ τῆς πίστεως. Ὅθεν τῆς δόξης τοῦ Χριστοῦ, ἐκοινώνησας φαιδρῶς, ἐν οὐρανοῖς Μαλαχία, πρεσβεύων ἀκαταπαύστως, ὑπὲρ τῶν πίστει εὐφημούντων σε.

Τὸ ὁμόηχον Θεοτοκίον καὶ Ἀπόλυσις.

# ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα.
Ἦχος α΄. Τὸν τάφον σου.

Χριστοῦ τοῦ δι᾽ ἡμᾶς, ἐν Σταυρῷ ὑψωθέντος, μιμούμενος στεῤῥῶς, τὸ ἑκούσιον πάθος, Μαρτύρων ἐξετέλεσας, Μαλαχία τὸν δίαυλον, καὶ κατέπαυσας, ἔνθα τὸ φῶς καταυγάζει, τῆς Θεότητος, ὑπὲρ ἡμῶν ἱκετεύων, τῶν πίστει τιμώντων σε.

Δόξα. Ὅμοιον

Χριστὸν ἀπὸ παιδός, θεοφρόνως φιλήσας, μετῆλθες ἐπὶ γῆς, ἀγγελότροπον βίον, καὶ Μάρτυς θεοδόξαστος, δι᾽ ἀθλήσεως γέγονας. Ὅθεν ἔτυχες, τοῦ ἀθανάτου νυμφῶνος, Ἀναστάσεως, ὦ Μαλαχία τῇ δόξῃ, ἀεὶ αὐγαζόμενος.

Καὶ νῦν. Θεοτοκίον.

Παράδεισος τερπνός, ἀληθῶς ἀνεδείχθης, ὡς τίμιον ζωῆς, ἐκβλαστήσασα ξύλον, τῆς φύσεως Πανάχραντε, φυτουργὸν τὸν οὐράνιον, παρεχόμενον, φιλανθρωπίᾳ ἀφάτῳ, τὴν ἀνάστασιν, τοῖς νεκρωθεῖσιν ἀθλίως, Παρθένε τοῖς πάθεσι.

Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα.
Ἦχος γ’. Θείας πίστεως.

Θείας πίστεως, ὁμολογίᾳ, κατεπάτησας, θεοεχθρίας, Μαλαχία παμμάκαρ τὴν ἔπαρσιν, καὶ προσπαγεὶς ἐν πασσάλῳ ἐτέλεσας, μαρτυρικῶς τὸν ἐπίγειον δρόμον

σου. Ὅθεν πρέσβευε, Χριστῷ τῷ Θεῷ δωρήσασθαι, πταισμάτων τοῖς τιμῶσί σε συγχώρησιν.

Δόξα. Ὅμοιον.

Χαίρει σήμερον, λαμπρῶς ἡ Λίνδος, τοῖς σπαργάνοις σου, ἐγκαυχωμένη, καὶ ὑμνεῖ Μαλαχία τοὺς ἄθλους σου, ἐν οἷς τυράννους ἐχθροὺς ἐξουδένωσας, καὶ τὴν Ὀρθόδοξον πίστιν ἐδόξασας. Ὅθεν πάντοτε, ἐν πέτρᾳ αὐτὴν τῆς πίστεως, συντήρει ταῖς πρεσβείαις σου ἀκλόνητον.

Καὶ νῦν. Θεοτοκίον.

Γένος σέσωσται, ἅπαν ἀνθρώπων, θείᾳ χάριτι, τοῦ ἐκ γαστρός σου, ἑκουσίως Παρθένε πτωχεύσαντος, καὶ διὰ πάθους τιμίου ἀνοίξαντος, τῆς σωτηρίας τῷ κόσμῳ τὴν ἄβυσσον. Αὐτῷ πρέσβευε, Μαρία Θεομακάριστε, σωθῆναι τοὺς πιστῶς σε μακαρίζοντας.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.
Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Ὁ δίτης ὡς ἄριστος, τῶν θεϊκῶν ἐντολῶν, οἰκτρῶς τεθανάτωσαι, ὑπὸ φονίων χειρῶν, Μαλαχία μακάριε· σὺ γὰρ ὁμολογήσας, τὴν χριστώνυμον κλῆσιν, εὗρες διὰ πασσάλου, τὸ μακάριον τέλος· διὸ ὑπὲρ ἡμῶν ἐκτενῶς, δυσώπει τὸν Κύριον.

Δόξα. Ὅμοιον.

Χρηστότητος ἤθεσι, κεκοσμημένος φαιδρῶς, καὶ βίου σεμνότητι, πεποικιλμένος λαμπρῶς, Μαλαχία ἀοίδιμε, γέγονας τῶν Μαρτύρων, κοινωνὸς

στεφηφόρος, ἐν Ἱεροσολύμοις, εὐκλεῶς μαρτυρήσας· μεθ᾽ ὧν ὑπὲρ ἡμῶν τὸν Θεόν, θερμῶς καθικέτευε.

Καὶ νῦν. Θεοτοκίον.

Α᾿σπόρως κυήσασα, τὸν Ποιητὴν τοῦ παντός, τὸν ἄνθρωπον ἔσωσας, τῆς ἀρχεγόνου ἀρᾶς, Παρθένε Πανύμνητε· ἔθραυσας τοῦ θανάτου, τὴν ἰσχὺν τῷ σῷ τόκῳ, ἔλυσας τοῦ δολίου, διαβόλου τὰ ἔργα· διό σοι εὐλαβῶς οἱ πιστοί, τὸ Χαῖρε κραυγάζομεν.

Οἱ Ἀναβαθμοί, ἤτοι τὸ α᾽ Ἀντίφωνον τῶν Ἀναβαθμῶν τοῦ δ᾽ ἤχου καὶ τὸ Προκείμενον.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.
Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Εὐαγγέλιον, ζήτει τῇ κγ᾽ Ἀπριλίου.

Ὁ Ν᾽. Δόξα. Ταῖς τοῦ Ἀθλοφόρου… Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου…

Ἰδιόμελον. Ἦχος πλ. β᾽.

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ο῞σιε Πάτερ, Μαλαχία τῆς Λίνδου τὸ βλάστημα, τιμιώτατα δῶρα προσῆξας, τῷ ἐν Τριάδι Θεῷ ἡμῶν, ἀσκήσεως τοὺς ἱδρῶτας, καὶ μαρτυρίου τὰ αἵματα· διό σε αὐτὸς ἐδόξασε, καὶ βραβείοις νίκης ἐκόσμησε· ᾧ πρέσβευε ὑπὲρ ἡμῶν, τῶν ἐκτελούντων τὴν μνήμην σου.

Εἶτα· οἱ Κανόνες, τῆς Θεοτόκου μετὰ τῶν Εἱρμῶν εἰς στ΄, καὶ ὁ τοῦ Ἁγίου εἰς στ΄. Κανὼν τοῦ Ἁγίου, οὗ ἡ Ἀκροστιχίς· «Μαλαχίαν Κύριλ(λ)ος ὁ Ῥόδου γεραίρει. Ἀμήν».

Ὠιδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.

Μονὰς τρισυπόστατε, Πάτερ, Υἱέ, Πνεῦμα Ἅγιον, σοφίας ἡ ἄβυσσος, λόγον τοῖς χείλεσι, δός μοι Δέσποτα, τοῦ θείου Μαλαχίου, ὡς ἂν τὴν πανένδοξον, ὑμνήσω ἄθλησιν.

Α῾γίων ἐσκήνωσας, ἐν ἀνεσπέροις λαμπρότησιν, Ὁσίων τὴν ἄσκησιν, ἐπιδειξάμενος, καὶ τὴν ἄθλησιν, θεόφρον Μαλαχία, Μαρτύρων τῆς πίστεως, ἐκμιμησάμενος.

Λαμπρύνας τὸν βίον σου, ταῖς ἀρεταῖς ἐκ νεότητος, Χριστοῦ ὡμολόγησας, λαμπρῶς τὸ ὄνομα, καὶ ἐνήθλησας, ἀνδρείως Μαλαχία, τρωθεὶς τὴν καρδίαν σου, ζήλῳ τῆς πίστεως.

Θεοτοκίον.

Α῾γίων τὸν Ἅγιον, ἐκ τῶν ἁγίῳν αἱμάτων σου, ἀσπόρως κυήσασα, Χριστὸν τὸν Κύριον, τῇ σῇ χάριτι, ἁγίασον Μαρία, τοὺς ἀνευφημοῦντάς σε, τὴν Ἀειπάρθενον.

Ὠδὴ γ΄. Τοὺς σοὺς ὑμνολόγους.

Χριστοῦ τῇ ἀγάπῃ τετρωμένος, ἐμίσησας κόσμου τὰ τερπνά, καὶ τὸν Σταυρὸν ἀράμενος, ὦ Μαλαχία ἔνδοξε, ἀσκητικῶς ἠγώνισαι, καὶ μαρτυρίῳ δεδόξασαι.

Ι᾽σχὺν δεδεγμένος Μαλαχία, τοῦ Πνεύματος ἄθλοις ἀρετῆς, Ἀγαρηνῶν ἐπάτησας, τῶν ἀντιθέων ἔπαρσιν, τινός ὡς ἄλλου πάσχοντος, καθυποστὰς τὸ μαρτύριον.

Α᾽νύων ὁσίως Μαλαχία, τὸν βίον σου ἔρωτι Χριστοῦ, ἐχθροῖς τοῖς συλλαβοῦσί σε, ἀντέστης ἀνδρικώτατα, καὶ τοῦ πασσάλου ἤνεγκας, ἐν καρτερίᾳ τὸ ὄνειδος.

Θεοτοκίον.

Ναμάτων Παρθένε σωτηρίων, τῆς χάριτος πήγασον κρουνούς, ὡς εὔσπλαγχνος ὑπάρχουσα, τοῖς ταπεινοῖς οἰκέταις σου, ὅτι πιστῶς ἐλπίζομεν, τῇ μητρικῇ σου χρηστότητι.

Κάθισμα. Ἦχος γ'. Τὴν ὡραιότητα.

Τὸν ἀγγελότροπον, ἔνθεον βίον σου, τοῖς τῶν αἱμάτων σου, ῥείθροις ἐλάμπρυνας, καὶ τῶν Μαρτύρων τῆς χαρᾶς, ἐν πόλῳ κατηξιώθης· σὺ γὰρ ὡμολόγησας, παῤῥησίᾳ τὸν Κύριον, καὶ στεῤῥῶς ὑπέμεινας, τοῦ πασσάλου τὸ ὄνειδος· διὸ ὑπὲρ ἡμῶν Μαλαχία, τὸν σὲ δοξάσαντα δυσώπει.

Δόξα. Ὅμοιον.

Χριστοῦ τὸν ἔρωτα, ἐνστερνισάμενος, ἀνδρῶν ἐπάτησας, ἀνόμων φρύαγμα, καὶ μαρτυρίου τοὺς καρπούς, ἐξήνεγκας ἐν ἐσχάτοις. Ὅθεν σε ἡ τράπεζα, τῆς ζωῆς ὑπεδέξατο, ἔνθα εὐφραινόμενος, σὺν Μαρτύρων ταῖς τάξεσι, μνημόνευε ἀεὶ Μαλαχία, τῶν εὐλαβῶς σε εὐφημούντων.

Καὶ νῦν. Θεοτοκίον.

Γέφυρα ἔμψυχος, ὤφθης τῷ τόκῳ σου, γῆθεν ἀνάγουσα, πρὸς τὰ οὐράνια, τοὺς ἐκπεσόντας Μαριάμ, τῇ γεύσει ποτὲ τοῦ ξύλου· σὺ γὰρ ἐσωμάτωσας, τῆς Τριάδος τὸν δεύτερον, κόσμῳ παρεχόμενον, ὡς οἰκτίρμων τὴν λύτρωσιν. Διὸ νῦν παρὰ πάντων ἀκούεις· Χαῖρε ἡ Κεχαριτωμένη.

Ὠιδὴ δ΄. Τὴν ἀνεξιχνίαστον.

Κόσμου κατεφρόνησας ὡς νουνεχής, καὶ τῆς εὐσεβείας ἐτράνωσας, ὦ Μαλαχία, ἐν ἐσχάτοις τὴν ἰσχύν, τὴν πλάνην τροπωσάμενος, ἐν μαρτυρικῷ παραστήματι.

Ὕμνοις σε γεραίρομεν χαρμονικῶς, Πάτερ Μαλαχία μακάριε· τὴν γὰρ ψυχήν σου, γεωργήσας ἀρεταῖς, μαρτυρικῶς ἐξήνθησας, δόξης οὐρανῶν τὴν λαμπρότητα.

Ῥεύμασιν αἱμάτων σου μαρτυρικῶν, Πάτερ Μαλαχία ἀπέπνιξας, τὸν παλαμναῖον, ἀνθρωπόλεθρον ἐχθρόν, ὡς νικητὴς τὰ ἔπαθλα, παρὰ τοῦ Χριστοῦ κομιζόμενος.

Θεοτοκίον.

Ἵλεων ἀπέργασαι Μῆτερ ἡμῖν, τοῖς ἐν ἁμαρτίαις δουλεύουσι, τὸν σαρκωθέντα, ἐξ αἱμάτων σου φρικτῶς, καὶ σώσαντα τὸν ἄνθρωπον, τῆς προγονικῆς παραβάσεως.

Ὠιδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.

Λαμπρὸν ἐγκαλλώπισμα, καὶ καύχημα σεβάσμιον, τῆς Λίνδου ὑπάρχεις Μαλαχία· σὺ γὰρ ἐκ ταύτης, ὥσπερ ἀστὴρ προελθών, τῆς ὁμολογίας σου φωτί, Ἐκκλησίας ηὔγασας, Ὀρθοδόξων τὸ πλήρωμα.

Ὁσίως ἀσκούμενος, τόπους πολλούς διήμειψας, ὡς αἰωνιότητος ὁδίτης, καὶ καταπαύσας, ἐν τῇ Ἁγίᾳ Σιών, τοῦ σαρκὶ παθόντος ἐν αὐτῇ, Μαλαχία γέγονας, μιμητὴς τῇ ἀθλήσει σου.

Σαρκὶ ἔνθα ἔζησε, Χριστὸς ὁ πάντων Κύριος, τοὺς τόπους ἀξίως προσκυνήσας, ἔλαβες χάριν, δι᾽ ἧς ἐχθροῖς φοβερός, Πάτερ καθωράθης ἐν καιρῷ, Μαλαχία ἔνδοξε, τοῦ λαμπροῦ μαρτυρίου σου.

Θεοτοκίον

Ὁ Λόγος ἐν μήτρᾳ σου, ἀσπόρως ἐνηνθρώπησε, Πνεύματος Ἁγίου ἐπελεύσει, σῶσαι θελήσας, ὡς ἐλεήμων Θεός, τοὺς ἀποικισθέντας τῆς Ἐδὲμ, διὰ ξύλου βρώσεως, Θεοτόκε Πανάχραντε.

Ὠιδή στ΄. Τὴν θείαν ταύτην.

Ῥημάτων θείων ὑπήκοος, Χριστοῦ ὦ Μαλαχία γενόμενος, ἀπὸ νεότητος, τῆς εὐσεβείας τὰ δράγματα, εἰς ἑκατὸν τοῖς πόνοις ἐκαρποφόρησας.

Ὁσίοις ἔργοις ἀσκούμενος, τῆς χάριτος ναὸς ἀναδέδειξαι, καὶ διηκόνησας, ὦ Μαλαχία ὡς Ἄγγελος, ἐν τῷ Ναῷ Κυρίου τῆς Ἀναστάσεως.

Δαμάσας σάρκα τοῖς πόνοις σου, τοῦ Πνεύματος τὴν δύναμιν ἔλαβες, ἐν ᾗ ῥωννύμενος, ὦ Μαλαχία ἐπάτησας, τῶν ἀσεβῶν τυράννων τὴν ἰταμότητα.

Θεοτοκίον.

Ο῾ Κτίστης πάντων καὶ Κύριος, ἐκ σοῦ ἐνανθρωπήσας δι᾽ ἔλεος, Παρθένε Ἄχραντε, τῆς ἁμαρτίας ἐῤῥύσατο, τοὺς Θεοτόκον πίστει ὁμολογοῦντάς σε.

Κοντάκιον. Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.

Ε᾿κ τῆς Λίνδου ἔλαμψας, ὡς μυστικὸς ἑωσφόρος, καὶ λαμπρῶς κατηύγασας, τὴν τοῦ Χριστοῦ Ἐκκλησίαν· βίον γάρ, τῶν μοναζόντων ἐξησκημένος, ἤθλησας, ὑπὲρ τῆς πίστεως στεῤῥοψύχως· διὰ τοῦτο Μαλαχία, Ὁσιομάρτυς πιστῶς τιμῶμέν σε.

Ὁ Οἶκος.

Α᾿πὸ νεότητος Χριστῷ, ἐνθέως ἀγαπήσας, τῶν ἐπὶ γῆς ἡδέων κατεφρόνησας, καὶ τὸν Σταυρὸν ἐπ᾽ ὤμων ἀράμενος, δι᾽ ἀσκητικῶν παλαισμάτων, ἐν τῇ καθαρᾷ σου καρδίᾳ ὑπεδέξω, τοῦ Παρακλήτου τὴν χάριν μακάριε, ἐν ᾗ καὶ ἐκατόρθωσας, ἐναντίον τῶν τῆς Ἄγαρ ἐκγόνων, ὁμολογῆσαι τὴν χριστώνυμον κλῆσίν σου· ἐντεῦθεν ὡς ἐν ἀλλοτρίῳ σώματι, τὰς ἀλγεινὰς βασάνους ὑπομείνας, τὴν ὁδὸν τοῦ μαρτυρίου ἐβάδισας, τὸ ξύλον τῆς καταδίκης βαστάζων, ὥσπερ ὁ Σωτὴρ τὸν Σταυρόν. Ὅθεν ἐν πᾶσι δόκιμος φανείς, τῇ ἀθανάτῳ δόξῃ ἐστεφανώθης, καὶ παρέστης τῷ ἐν Τριάδι Θεῷ, πρεσβευτὴς θερμότατος ὑπάρχων, τῶν

εὐσεβῶν ὑμνητῶν σου αὐτῷ· διὰ τοῦτο Μαλαχία, Ὁσιομάρτυς πιστῶς τιμῶμέν σε.

## Μηνολόγιον.

Τῇ ΚΘ΄ τοῦ αὐτοῦ μηνὸς (Σεπτεμβρίου), Μνήμη τοῦ Ἁγίου ἐνδόξου νέου Ὁσιομάρτυρος Μαλαχίου τοῦ Λινδίου, τοῦ ἐν Ἱεροσολύμοις μαρτυρικῶς τελειωθέντος.

## Στίχοι.

Ἐν Σιὼν ἠξίωσαι τοῦ θείου πάθους,
Κοινωνῆσαι ἔνδοξε ὡς Θεοῦ φίλος.
Εἰκοστῇ ἐννάτῃ Μαλαχίας ὑψώθη ἰκρίῳ πικρῷ.

## Συναξάριον.

Οὗτος ἦν ἐκ Λίνδου, κωμοπόλεως τῆς νήσου Ρόδου, εὐσεβῶν γονέων ὑπάρχων υἱός, τοῦ Ἱερέως Γεωργίου καὶ τῆς Χριστίνης. Ἀνατραφεὶς ἐν παιδείᾳ καί νουθεσίᾳ Κυρίου, κατὰ τὸ ἀποστολικὸν λόγιον, καὶ εἰς μέτρον ἡλικίας φθάσας τὸ τῶν μοναχῶν ἅγιον σχῆμα ἐνεδύσατο καὶ ἐπεδόθη ὁ μακάριος ὅλῃ ψυχῇ καὶ διανοίᾳ εἰς τὴν τῆς εὐαγγελικῆς πολιτείας κατόρθωσιν.

Ὅθεν, μεταναστεύσας τῆς οἰκείας πατρίδος, ὡς τῷ θείῳ πόθῳ κατατριτρωσκόμενος, εἰς τὴν τῶν Κολοσσαέων ἀφίκετο, ἐν ᾗ μικρὸν διατρίψας, ἔξεισι ταύτης καὶ ἦλθεν εἰς Λάμψακον. Κἀθεῖθεν ἀπάρας καὶ περινοστήσας τὴν Πελοπόνησον, πολλὰς νήσους τοῦ Ἀρχιπελάγους, τὴν Φοινίκην, τὴν Αἴγυπτον καὶ τὴν Λιβύην, ἦλθεν εἰς τὸ Σίναιον Ὄρος καὶ ἐγκατεβίωσεν ἐπὶ μικρὸν ἐν τῇ ἐν αὐτῷ περιωνύμῳ Μονῇ τῆς Ἁγίας Αἰκατερίνης. Ἀναχωρήσας ἐκεῖθεν ἐπορεύθη εἰς Παλαιστίνην καὶ προσκυνήσας τοὺς τόπους, ἔνθα οἱ πόδες ἔστησαν τοῦ Κυρίου, παρέμεινεν ἐν Ἱεροσολύμοις, διακονῶν ἐν τῷ Παναγίῳ Ναῷ τῆς τοῦ Χριστοῦ Ἀναστάσεως.

Ἐν Ἱεροσολύμοις διάγων τὸν μοναχικὸν βίον ἐπορεύετο ἡμέραν τινά χρείας ἕνεκεν ἐν τῇ ἀγορᾷ, καθ᾽ ὁδὸν δὲ εὑρισκόμενος

ἐῤῥαπίσθη ὑπὸ Ὀθωμανοῦ τινός, ὡς δῆθεν βλασφημήσας τὸν ἀρχηγὸν τῆς τῶν Ἀγαρηνῶν ἀσεβείας, ὅστις καὶ κατήγγειλεν αὐτὸν τῷ ἡγεμόνι τῆς πόλεως. Συλληφθείς, ἠρνήσατο μετὰ παῤῥησίας τὰς κατ᾽ αὐτοῦ ἐξενεχθείσας κατηγορίας καὶ ὁμολογήσας τὴν Ὀρθόδοξον πίστιν ἤλεγξε σφοδρῶς τὸν ἡγεμόνα καὶ τοὺς σὺν αὐτῷ διὰ τὴν κακοπιστίαν καὶ ἀσέβειαν αὐτῶν. Ἔνθεν, μαστιγωθεὶς ἀνηλεῶς ὑπὸ τῶν στρατιωτῶν ἐνεκλείσθη εἰς τὴν φυλακήν, ἔνθα παρέμεινεν ἄσιτος ἐπὶ πολλὰς ἡμέρας, ἀναπέμπων ἀκαταπαύστως ὕμνους καὶ εὐχὰς τῷ Κυρίῳ καὶ εὐχαριστῶν ἐπὶ τοῖς παθήμασιν αὐτοῦ, ὥστε λίαν θαυμάζειν καὶ ἐξίστασθαι τοὺς παρόντας.

Προσαχθεὶς δὲ πάλιν τῷ ἡγεμόνι, καὶ ὁμολογήσας τὴν καλὴν ὁμολογίαν, ποικίλως ἐδοκιμάσθη, τοὺς ἀστραγάλους διαπαρείς, ἵππῳ ἀγρίῳ προσδεθεὶς καὶ εἰς τὰς ὁδοὺς τῆς Ἁγίας Πόλεως συρόμενος περιαχθείς, ὑπὸ τῶν ἀσεβῶν Ἀγαρηνῶν ὑβρισθεὶς καὶ λίθοις βληθεὶς καὶ αἰχμηροῖς αἰκίσι τὰς σάρκας κατατμηθείς. Ἰδὼν δὲ ὁ ἡγεμὼν τὸ ἀμετάπειστον τῆς γνώμης αὐτοῦ κατεψηφίσατο αὐτῷ τὸν διὰ πασσάλου θάνατον.

Παραλαβόντες οὖν τὸν μακάριον οἱ στρατιῶται τοῦ ἡγεμόνος ὡδήγησαν αὐτόν, βαστάζοντα ἐπ᾽ ὤμων τὸν πάσσαλον, εἰς τὸν ὁρισθέντα τόπον καὶ ἐκεῖ ἐποίησαν κατὰ τὸ προσταχθὲν αὐτοῖς. Οἱ δὲ Χριστιανοὶ τῆς Ἁγίας Πόλεως, δόντες ἀργύρια τοῖς τυράννοις, παρέλαβον τὸ σῶμα αὐτοῦ καὶ ἐκήδευσαν αὐτὸ ἐντίμως εἰς τὸν πρὸς ταφὴν τοῖς ξένοις Ἀγρὸν τοῦ Κεραμέως, προεξάρχοντος τοῦ Πατριάρχου Ἱεροσολύμων Γερμανοῦ, ὅστις καὶ ὥρισεν ἵνα ἑορτάζηται ἐτησίως ἡ μνήμη αὐτοῦ ἐν τῷ Ναῷ τοῦ Ἁγίου Ἀποστόλου Ἰακώβου τοῦ Ἀδελφοθέου, πλησίον τοῦ Παναγίου Ναοῦ τῆς τοῦ Χριστοῦ Ἀναστάσεως, τῇ κθ΄ Σεπτεμβρίου, τῇ ἡμέρᾳ τῆς μαρτυρικῆς αὐτοῦ τελειώσεως.

## Ὠιδὴ ζ΄. Οὐκ ἐλάτρευσαν.

Υ῾βριζόμενος, τὸ θράσος κατεγέλασας, τοῦ πολεμήτορος, καὶ ἀσεβῶν τὴν βουλήν, εἰς τέλος κατῄσχυνας, ἐπιδειξάμενος, ἐν τῷ πάσχειν σε, τὴν ἔνστασιν ἀσάλευτον, θεομάκαρ Μαλαχία.

Γνώμῃ Ὅσιε, ἀνδρείᾳ ὡμολόγησας, Χριστοῦ τὸ ὄνομα, ἐπὶ ἀπίστων ἐχθρῶν· διὸ προσωμίλησας, ποικίλαις μάστιξι, καὶ παθήμασιν, εὐχαριστῶν τὸν Κύριον, ἐπὶ πᾶσι Μαλαχία.

Ἐκκεντούμενος, ἐπὶ τῆς γῆς συρόμενος, καὶ λιθαζόμενος, ὡς τοῦ Χριστοῦ μιμητής, γενναίῳ φρονήματι, ἐνεκαρτέρησας, τὴν ἀΐδιον, ἀποσκοπῶν ἀπόλαυσιν, τῶν Ἁγίων Μαλαχία.

Θεοτοκίον.

Ῥαθυμίας με, ἐν κλίνῃ κατακείμενον, ἐπιστασίᾳ σου, ἀνάστησόν συμπαθῶς, καὶ δὸς μοι ἐργάζεσθαι, ἀεὶ τὸ θέλημα, τοῦ δι᾽ ἔλεος, ἀμέτρητον Πανάχραντε, τοῖς βροτοῖς συγκαταβάντος.

Ὠιδὴ η᾽. Παῖδας εὐαγεῖς.

Ἄνωθεν ἰσχὺν ἐνδεδυμένος, ὡς δοῦλος πιστὸς Κυρίου τῶν δυνάμεων, θεολόγῳ στόματι, κλῆσιν τὴν χριστώνυμον, ἀνδρείως ὡμολόγησας, καὶ καθυπέμεινας, βασάνους καὶ πληγὰς Μαλαχία, ἀνθ᾽ ὧν ἐν ὑψίστοις, τὰ μένοντα ἐκτήσω.

Ἴθυνας ἐνθέως τὴν ζωήν σου, τῷ νόμῳ Εὐαγγελίου ἐκ νεότητος, ὡς σοφίας ἔμπλεως, καὶ θυσία ἄμωμος, Κυρίῳ προσενήνεξαι, ἐπὶ τὸν πάσσαλον, τελέσας μαρτυρίου τὸν δρόμον, Πάτερ Μαλαχία, Χριστοῦ Ὁσιομάρτυς.

Ῥείθροις ἀτμοπνόων σου αἱμάτων, ἀσκήσεως πορφυρώσας τὸ τριβώνιον, πρὸς ζωῆς ἀνέδραμες, τὰ

τερπνὰ σκηνώματα, ἐν οἷς τῆς ὑπὲρ ἔννοιαν, δόξης πληρούμενος, μνημόνευε ἀεὶ Μαλαχία, τῶν ἐπιτελούντων, πιστῶς τὴν ἑορτήν σου.

Θεοτοκίον.

Ε῎μψυχος καθέδρα Θεοτόκε, ὡς οὖσα καθαρωτάτη ἐχρημάτισας, τοῦ ἐνανθρωπήσαντος, ἐξ ἁγίων σπλάγχνων σου, καὶ συμπαθῶς πτωχεύσαντος, ἵνα πλουτήσωμεν, ἡμεῖς οἱ ἀκορέστως βοῶντες· Χαῖρε Παναγία, τῆς φύσεως τὸ θαῦμα.

Ὠιδὴ θ᾽. Ἄπας γηγενής.

Ι῞να τῆς ζωῆς, τῆς ἄνω τὰς χάριτας, τρυγήσῃς Ὅσιε, βίον τὸν ἰσάγγελον, τῶν μοναζόντων, ὁσίως ἔζησας, καὶ τοῦτον ἐπεσφράγισας, οἰκείῳ αἵματι, ὡς Μαρτύρων, τὰ ἀνδραγαθήματα, Μαλαχία στεῤῥῶς μιμησάμενος.

Α῎νωθεν λαβών, τὴν χάριν τοῦ Πνεύματος, ταῖς ἐναρέτοις σου, Μαλαχία πράξεσιν, ἐπὶ ἀπίστων, Χριστὸν ἐκήρυξας, καὶ τοῦ πασσάλου ἤνεγκας, στεῤῥῶς τὴν κάκωσιν, ὅνπερ θείαν, κλίμακα εὑράμενος, πρὸς Ἐδὲμ πλατυσμὸν ἀνελήλυθας.

Μένει ψαλμικῶς, ἀεὶ παμμακάριστε, τὸ σὸν μνημόσυνον· τῆς δικαιοσύνης γὰρ, τῇ ἐργασίᾳ, ἐκαρποφόρησας, ἀσκητικῶς τὸ πρότερον, ἀγωνισάμενος, καὶ ἀθλήσας, ἀνδρικῶς ἐσύστερον, Μαλαχία δυνάμει τῆς πίστεως.

Ἥλιος φαιδρός, καθάπερ ἀνέτειλε, τῷ στερεώματι, Μαλαχία σήμερον, τῆς Ἐκκλησίας, ἡ θεία μνήμη σου· διὸ τοὺς ἑορτάζοντας, καὶ εὐφημοῦντάς σε, ταῖς εὐχαῖς σου, πάντοτε διάσῳζε, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Θεοτοκίον.

Νὺξ ἡ ζοφερά, παθῶν με τὸν ἄθλιον, οἰκτρῶς ἐκάλυψε, καὶ δεινὸν τὸ σκότος μου, πρὸς ἀπωλείας, ἕλκον με βάραθρα· ἀλλ᾽ ἡ ἐξανατείλασα, τὸ φῶς τῆς γνώσεως, φωταυγείᾳ, μητρικῆς σου χάριτος, φώτισόν με Παρθένε καὶ σῶσόν με.

Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς συνέλθωμεν.

Ὑπήκοος γενόμενος, τοῦ Κυρίου τῷ λόγῳ, κατέλιπες γεννήτορας, συγγενεῖς καὶ πατρίδα, καὶ μοναζόντων τῷ βίῳ, ἱερῶς διαπρέψας, μαρτυρικῶς ἐτέλεσας, τὸν ἐπίγειον δρόμον, ἀναρτηθείς, ἐν πασσάλῳ ἔνδοξε Μαλαχία, ὡς ἐν Σταυρῷ ὁ Κύριος, καὶ Δεσπότης τοῦ κόσμου.

Ἕτερον. Γυναῖκες ἀκουτίσθητε.

Ἡ Λίνδος ἐπαγάλλεται, τῇ ἀνεσπέρῳ δόξῃ σου, καὶ ἐν φαιδροῖς ἐγκωμίοις, τὴν μνήμην σου ἑορτάζει· αὐτῆς γὰρ γόνος τίμιος, ὑπάρχεις παμμακάριστε, ὡς μοναστὴς ἰσάγγελος, καὶ Μάρτυς ἠγλαϊσμένος, τῆς πίστεως Μαλαχία.

Θεοτοκίον.

Ρ῾ωννύμενος τῇ χάριτι, τοῦ σοῦ Υἱοῦ Πανάχραντε, δαιμόνων ἔθραυσε θράσος, ἀσκήσει καὶ μαρτυρίῳ, ὁ Μαλαχίας Δέσποινα, μεθ᾿ οὗ ἀπαύστως πρέσβευε, ὑπὲρ ἡμῶν δεόμεθα, τῶν εὐλαβῶς προσκυνούντων, τὸν τόκον σου Θεοτόκε.

ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἱστῶμεν στίχ. δ᾿ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια. Ἦχος πλ. δ᾿. Ὢ τοῦ παραδόξου θαύματος.

Πάτερ Μαλαχία Ὅσιε, τῶν ἐπιγείων τερπνῶν, ἀλογήσας ὡς πάνσοφος, μοναστὴς οὐράνιος, ἀνεδείχθης τῷ βίῳ σου, καὶ Μάρτυς ὤφθης ἀκαταγώνιστος, μὴ δειλιάσας ἐχθρῶν τὸ φρύαγμα. Ὅθεν τὸν στέφανον, τῆς ζωῆς ἀπέλαβες ὑπὲρ ἡμῶν, ἱκετεύων Ἅγιε, τὸν σὲ δοξάσαντα.

Πάτερ Μαλαχία Ὅσιε, τόπους πολλοὺς διελθών, ὡς ὁδίτης οὐράνιος, ἐν Σιὼν τὸν δρόμον σου, στεῤῥοψύχως ἐτέλεσας, χερσὶ τυράννων βασανιζόμενος, καὶ τῷ πασσάλῳ προσαναρτώμενος. Ὅθεν ἐπέτυχες, ἐν Ἐδὲμ τῆς κρείττονος ἀναψυχῆς, μνημονεύων πάντοτε, τῶν ἀνυμνούντων σε.

Πάτερ Μαλαχία Ὅσιε, τῶν ἀρετῶν τὴν στολήν, πορφυρώσας τοῖς αἵμασιν, εἰς ἀχειροποίητον, κατοικίαν κατέπαυσας, φωτὶ ἀκτίστῳ περιλαμπόμενος, καὶ ἀθανάτου, δόξης πληρούμενος.